# ΣΑΒΒΑΤΟΝ Α΄ ΝΗΣΤΕΙΩΝ

## Θεόδωρος, ὁ Τήρων, Μάρτυς: Θαῦμα διὰ τῶν κολύβων




*Τοιχογραφία (1295;) διὰ χειρὸς Ἐμμανουὴλ Πανσέληνου, Ἱ. Ν. Πρωτάτου Ἄθωνος.*

**Ἀπολυτίκιον.** Ἦχος β΄.

**Μ**εγάλα τὰ τῆς πίστεως κατορθώματα! Ἐν τῇ πηγῇ τῆς φλογός, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, ὅ Ἅγιος Μάρτυς Θεόδωρος ἠγάλλετο· πυρὶ γὰρ ὁλοκαυτωθείς, ὡς ἄρτος ἡδύς, τῇ Τριάδι προσήνεκται. Ταῖς αὐτοῦ ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

**Κοντάκιον.** Ἦχος πλ. δ΄.

**Π**ίστιν Χριστοῦ ὡσεὶ θώρακα, ἔνδον λαβὼν ἐν καρδίᾳ σου, τὰς ἐναντίας δυνάμεις κατεπάτησας Πολύαθλε, καὶ στέφει οὐρανίῳ ἐστέφθης αἰωνίως, ὡς ἀήττητος.

**Στίχοι.**

Τροφῇ κολλύβων, ἑστιᾶ Τήρων πόλιν,
Τρυφὴν τιθεὶς ἄπρακτον, ἠλιγισμένην.

## Τῷ πρώτῳ Σαββάτῳ τῶν Νηστειῶν

*(Ἑβρ. α΄ 1-12· Μάρκ. β΄ 23-γ΄ 5)*

**Ἀνάμνησιν** ποιούμεθα τοῦ διὰ τῶν Κολλύβων γενομένου θαύματος παρὰ τοῦ Ἁγίου Μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος.

Ἰουλιανὸς ὁ παραβάτης (359-363), γινώσκων ὅτι οἱ Χριστιανοὶ καθαίρονται μᾶλλον διὰ νηστείας τὴν πρώτην ἑβδομάδα τῆς ἁγίας Τεσσαρακοστῆς, ἣν καὶ ἡμεῖς διὰ τοῦτο καθαρὰν ἑβδομάδα καλοῦμεν, ἠβουλήθη ἵνα τότε μάλιστα μολύνῃ αὐτούς. Διὸ καὶ προσέταξε κρυφίως, ἵνα τεθῶσιν εἰς τὴν ἀγορὰν κατ᾽ ἐκείνας τὰς ἡμέρας βρώματα μεμιασμένα ἐκ τῶν αἱμάτων τῶν εἰδωλικῶν θυσιῶν.

Ἀλλά, νεύσει θείᾳ, ἐπιφανεὶς καθ᾽ ὕπνον ὁ Μάρτυς Θεόδωρος εἰς τὸν τότε ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως Εὐδόξιον καὶ φενερώσας τὸ πρᾶγμα, παρήγγειλεν αὐτῷ, ἵνα συγκαλέσῃ τοὺς πιστοὺς εὐθὺς τὸ πρωῒ τῆς Δευτέρας καὶ ἐμποδίσῃ αὐτοῖς τῶν βρωμάτων ἐκείνων τὴν χρῆσιν, τὴν δὲ ἔλλειψιν τῆς ἀναγκαίας τροφῆς ἀναπληρώσῃ ἐκ τοῦ προχείρου διὰ κολλύβων· καὶ ἑρμηνεύων αὐτὰ εἶπεν, ὅτι κόλλυβα

ὀνομάζομεν ἡμεῖς εἰς τὰ Εὐχάϊτα τὸν βρασμένον σῖτον.

Τοιουτοτρόπως, ὁ μὲν σκοπὸς τοῦ Παραβάτου ἐματαιώθη, ὁ δὲ εὐσεβὴς λαός, διαφυλαχθεὶς ἀμόλυντος καθ᾽ ὅλην τὴν καθάρσιμον ἑβδομάδα, ἀπέδωκεν εἰς τὸν Μάρτυρα τὴν εὐχαριστίαν κατὰ τοῦτο τὸ Σάββατον, ποιήσαντες τὴν μνήμην αὐτοῦ διὰ κολλύβων.

Καὶ ταῦτα μὲν συνέβησαν περὶ τὰ μέσα τοῦ Δ´ αἰῶνος· ἡ δὲ Ἐκκλησία ἐπιτελεῖ κατ᾽ ἔτος τὴν ἀνάμνησιν, εἰς δόξαν Θεοῦ καὶ τιμὴν τοῦ Μάρτυρος.

❖